Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vdq-ac

*Θεοδόσιος ὁ Ἀλεξανδρεύς* · Theodosius of Alexandria

# Introductory Canons-Noun Inflection

*Εἰσαγωγικοὶ Κανόνες περὶ Κλίσεως Ὀνομάτων*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

423 ΘΕΟΔΟΣΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ εἰσαγωγικοὶ κανόνες περὶ κλίσεως ὀνομάτων. Κανὼν α′ Ἑνικά. Αἴας Αἴαντο ς: τὰ εἰς ας καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ντ κλίνεται, Θόας Θόαντος, Ὕας Ὕαντος, Αἴας Αἴαντος. τῷ Αἴαντ ι: πᾶσα γενικὴ εἰς ος λήγουσα μεταβάλλουσα τὴν ος εἰς ι τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον, ἔρωτος ἔρωτι, Μίνωος Μίνωϊ, Αἴαντος Αἴαντι. τὸν Αἴαντ α: πᾶσα δοτικὴ εἰς ι ἐκφωνούμενον λήγουσα ὅτε ἔχει ἰσοσύλλαβον τὴν αἰτιατικὴν τροπῇ τοῦ ι εἰς α αὐτὴν ποιεῖ, λέβητι λέβητα. ὦ Αἶα ν: πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τοῦ τος ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, Αἴαντος Αἶαν, Ξενοφῶντος Ξενοφῶν· πλακοῦντος δὲ πλακοῦ καὶ Σιμοῦντος Σιμοῦ. Δυϊκά.

424 Τὼ Αἴαντ ε: πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι εἰς ε τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ, βοΐ βόε. τοῖν Αἰάντοι ν: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε ἢ εἰς ω λήγουσα εἰς οιν ποιεῖ τὴν γενικήν, ἔρωτε ἐρώτοιν, κανόνε κανόνοιν, Ὁμήρω Ὁμήροιν, σοφώ σοφοῖν. ὦ Αἴαντ ε: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτως καὶ ἡ κλητική. Πληθυντικά. Οἱ Αἴαντε ς: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χάριτε χάριτες, νᾶε νᾶες, ἔρωτε ἔρωτες. τῶν Αἰάντω ν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους. τοῖς Αἴασ ι: πᾶσα εὐθεῖα ἑνικῶν εἰς ς λήγουσα μετὰ μακρᾶς περισσοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσί, Πηλεύς Πηλέως Πηλεῦσι, πλὴν τοῦ πούς ποδός ποσί. τοὺς Αἴαντα ς: πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, Κύπριδα Κύπριδας. ὦ Αἴαντε ς: εἴπομεν ὡς τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτως καὶ ἡ κλητική. Κανὼν β′ Ἑνικά. Ὁ κοχλίας τοῦ κοχλίο υ: τὰ εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα εἰς ου ἔχει τὴν γενικήν, Παπίου Ἑρμείου Αἰνείου· εἰ δὲ εἰς α περατώσεις τὴν γενικὴν τοῦ Παπία λέγων καὶ τοῦ Αἰνεία, Δωρικὴ ἔσται ἡ κλίσις συνήθης γεγονυῖα τῇ κοινῇ διαλέκτῳ· σεσημείωται τὸ Πικίας Πικίαντος καὶ Πευκετίας Πευκετίαντος. τῷ κοχλί ᾳ: πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου, ὁ Πέρσης τοῦ Πέρσου τῷ Πέρσῃ, Μήδεια Μηδείας Μηδείᾳ· καλός δὲ καλοῦ καλῷ διὰ μείζονος.

425 τὸν κοχλία ν: πᾶσα εὐθεῖα εἰς ς λήγουσα ὅταν ἔχῃ ἰσοσύλλαβον τὴν αἰτιατικὴν μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ν αὐτὴν ἔχει λήγουσαν, ἰχθῦς ἰχθύν, καλός καλόν· ὅθεν Ἀττικοὶ

Δημοσθένην κλίνουσι μετὰ τοῦ ν . ὦ κοχλί α: τὰ εἰς ας ἰσοσυλλάβως κλινόμενα ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, Μηνᾶς Μηνᾶ. Δυϊκά. Τὼ κοχλί α: πᾶσα δοτικὴ ἑνικῶν εἰς α ἢ εἰς ω λήγουσα ὁμόφωνον ἔχει τὴν ὀρθὴν τῶν δυϊκῶν, τῶν Παπίᾳ τὼ Παπία, τῷ καλῷ τὼ καλώ. τοῖν κοχλίαι ν: πᾶσα εὐθεῖα δυϊκῶν εἰς α λήγουσα προσθέσει τοῦ ιν ποιεῖ τὴν γενικήν, καλά καλαῖν, Πέρσα Πέρσαιν. ὦ κοχλί α: εἴρηται. Πληθυντικά. Οἱ κοχλία ι: πᾶσα εὐθεῖα δυϊκῶν εἰς α λήγουσα προσθέσει τοῦ ι ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, τὰ Μούσα αἱ Μοῦσαι· εἰ δὲ εἰς ω λήγει εἰς οι ποιεῖ, πλὴν τῶν οὐδετέρων. τῶν κοχλιῶ ν: εἴρηται. τοῖς κοχλίαι ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἱ καλοί τοῖς καλοῖς, οἱ τοξόται τοῖς τοξόταις. τοὺς κοχλία ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι λήγουσα τροπῇ τοῦ ι εἰς ς τὴν αἰτιατικὴν ποιεῖ, Μοῦσαι Μούσας, Πέρσαι Πέρσας. ὦ κοχλία ι: εἴρηται. Κανὼν γʹ Ἑνικά. Ὁ Λάχης τοῦ Λάχητο ς: τὰ εἰς ης βαρύτονα ἰαμβικὰ μὴ ἔχοντα ἐπʼ εὐθείας τὸ τ εἰς τος ἔχει τὴν γενικήν, λέβητος Πάχητος Δάρητος· σεσημείωται τὸ Κόμης Κόμου καὶ γύης γύου. [20]

426 τῷ Λάχητ ι , τὸν Λάχητ α: εἴρηται. ὦ Λάχη ς: τὰ εἰς ης ἢ εἰς ως ὀνόματα διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, τοῦ λέβητος ὦ λέβης, τοῦ ἔρωτος ὦ ἔρως. Δυϊκά. Τὼ Λάχητ ε , τοῖν Λαχήτοι ν , ὦ Λάχητ ε. Πληθ. Οἱ Λάχητε ς , τῶν Λαχήτω ν , τοῖς Λάχησ ι , τοὺς Λάχητα ς , ὦ Λάχητε ς . Κανὼν δʹ Ἑνικά. Ὁ Χρύσης τοῦ Χρύσο υ: τὰ εἰς ης βαρύτονα σπονδειακὰ εἰς ου ἔχει τὴν γενικήν, Πέρσης Πέρσου, Τέννης Τέννου· σεσημείωται τὸ μάσθλητος Μόργητος Μήλητος· τὰ γὰρ ἄλλα ἔχουσιν ἀπολογίαν. τῷ Χρύσ ῃ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὸν Χρύση ν: εἴρηται. ὦ Χρύσ η: τὰ εἰς ης ἰσοσυλλάβως κλινόμενα εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα ἢ τὸ τ ἔχοι ἢ ἐθνικὰ εἴη ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὦ Εὐριπίδη, ὦ μισογύνη, ὦ Μηριόνη· εἴπομεν «εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα» διὰ τὸ ὦ γεωμέτρα, «ἢ τὸ τ ἔχοι» διὰ τὸ ὦ τοξότα, ὦ θύτα, «ἐθνικά» δὲ διὰ τὸ ὦ Πέρσα. Δυϊκά. [20]

427 Τὼ Χρύσ α: πᾶσα δοτικὴ ἑνικῶν εἰς η λήγουσα τροπῇ τοῦ η εἰς α τὸ δυϊκὸν ποιεῖ, τῇ Ἑλένῃ τὰ Ἑλένα. τοῖν Χρύσαι ν , ὦ Χρύσ α: εἴρηται. Πληθ. Οἱ Χρῦσα ι , τῶν Χρυσῶ ν , τοῖς Χρύσαι ς , τοὺς Χρύσα ς , ὦ Χρῦσα ι: εἴρηται. Κανὼν εʹ Ἑνικά. Ὁ Δημοσθένης τοῦ Δημοσθένου ς: τὰ εἰς ης ὀνόματα παρʼ οὐδετέρων συντεθειμένα πάντως εἰς ους ἔχει τὴν γενικήν, γένος εὐγενής εὐγενοῦς, ἦθος κακοήθης κακοήθους· σεσημείωται τὸ ἀγκυλοχείλης ἀγκυλοχείλου. Εἰδέναι δὲ δεῖ ὅτι πᾶσα γενικὴ εἰς ους λήγουσα συνῃρημένη ἐστίν· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελὲς καὶ οὕτως ποιεῖν τὴν συναίρεσιν, τοῦ Δημοσθένεος τοῦ Δημοσθένους. τῷ Δημοσθένεϊ τῷ Δημοσθένε ι , τὸν Δημοσθένεα τὸν Δημοσθέν η , ὦ Δημόσθενε ς: τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν εἰς ες ποιεῖ τὴν κλητικήν, Δημοσθένης Δημοσθένους ὦ Δημόσθενες. Δυϊκά. Τὼ Δημοσθένεε τὼ Δημοσθέν η , τοῖν Δημοσθενέοιν τοῖν Δημοσθενοῖ ν , ὦ Δημοσθένεε ὦ Δημοσθέν η. Πληθ. Οἱ Δημοσθένεες οἱ Δημοσθένει ς , τῶν Δημοσθενέων τῶν Δημοσθενῶ ν , τοῖς Δημοσθένεσι μόνω ς , τοὺς Δημοσθένεας τοὺς Δημοσθένει ς , ὦ Δημοσθένεες ὦ Δημοσθένει ς . [15]

428 Κανὼν ϛʹ. Περὶ τοῦ Ἡρακλῆς. Τοῦτο τὸ ὄνομα καὶ τὰ ὅμοια αὐτῷ εὐθείας μὲν ἔχει δύο, μίαν ἐντελῆ τὴν Ἡρακλέης καὶ μίαν συνῃρημένην τὴν Ἡρακλῆς, αἵ τινες γεννῶσι γενικὰς τέσσαρας, ἡ ἐντελὴς δύο, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, καὶ ἡ συνῃρημένη δύο, μίαν συνῃρημένην καὶ μίαν ἐντελῆ. Ἑνικά. Ἡρακλέη ς , Ἡρακλέεος Ἡρακλέου ς , Ἡρακλέεϊ Ἡρακλέε ι , Ἡρακλέεα Ἡρακλέ α , Ἡράκλεες Ἡράκλει ς. Δυϊκά. [10]

429 Ἡρακλέεε Ἡρακλέ η , Ἡρακλεέοιν Ἡρακλεοῖ ν , Ἡρακλέεε Ἡρακλέ η. Πληθ. Ἡρακλέεες Ἡρακλέει ς , Ἡρακλεέων Ἡρακλεῶ ν , Ἡρακλέεσι Ἡρακλῆσ ι , Ἡρακλέεας Ἡρακλέα ς , Ἡρακλέεες Ἡρακλέει ς. Ἑνικά. Ἡρακλῆ ς , Ἡρακλέος Ἡρακλοῦ ς , Ἡρακλέϊ Ἡρακλε ῖ ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρακλέα Ἡρακλ ῆ , ὦ Ἥρακλε ς. Δυϊκά. Ἡρακλέε Ἡρακλ ῆ , Ἡρακλέοιν Ἡρακλοῖ ν , Ἡρακλέε Ἡρακλ ῆ. Πληθ. Ἡρακλέες Ἡρακλεῖ ς , Ἡρακλέων Ἡρακλῶ ν , Ἡρακλέσι μόνως, Ἡρακλέας Ἡρακλεῖ ς , Ἡρακλέες Ἡρακλεῖ ς . Κανὼν ζʹ Ἑνικά. Ὁ Πάρις τοῦ Πάριδο ς; τὰ εἰς ις κύρια διὰ τοῦ δ κλίνεται εἴτε ἀρσενικὰ εἴη εἴτε θηλυκά, Ἄδωνις Ἀδώνιδος, Πάριδος Θέτιδος Μέμφιδος· τὰ ἐν τοῖς θηλυκοῖς σεσημειωμένα ὕστερον ἐροῦμεν· τὸ δὲ Πάριος Θέτιος Ἰωνικά. τῷ Πάριδ ι: εἴρηται. τὸν Πάριδα καὶ τὸν Πάρι ν: τῶν εἰς ις αἱ αἰτιατικαὶ διχῶς λέγονται, καὶ ἡ μὲν εἰς α λήγουσα ἀπὸ τῆς δοτικῆς ἑνικῆς κανονίζεται, ἡ δὲ εἰς ν ἀπὸ τῆς εὐθείας. [15]

4 2 10 ὦ Πάρ ι: τὰ εἰς ις ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὦ Θέτι, ὦ Πάρι. Δυϊκά. Τὼ Πάριδ ε , τοῖν Παρίδοι ν , ὦ Πάριδ ε. Πληθ. Οἱ Πάριδε ς , τῶν Παρίδω ν , τοῖς Πάρισ ι , τοὺς Πάριδα ς , ὦ Πάριδε ς . Κανὼν ηʹ Ἑνικά. Ὁ ὄφις τοῦ ὄφιος καὶ ὄφεω ς: τὰ εἰς ις προσηγορικὰ μὴ ὄντα παρώνυμα μακροπαράληκτα διὰ καθαροῦ τοῦ ος κλίνεται, μάντιος ὄφιος· Ἀττικοὶ δὲ μάντεως καὶ ὄφεως φασίν· εὑρέθη δὲ καὶ ὄφεος 〈Eurip. Bacch. 1027〉 δράκοντος ἔσπει ρ ’ ὄφεος ἐν γαίᾳ θέρος καὶ 〈Eurip. Or. 897〉 ὃς ἂν δύνηται πόλεος ἔν τ ’ ἀρχαῖσιν ᾖ . τῷ ὄφιι καὶ ἐν συναιρέσει ὄφ ι , τῷ ὄφεϊ καὶ ἐν συναιρέσει ὄφε ι . τὸν ὄφι ν: ἡ μὲν ἀναλογία ἀπῄτει καὶ ταύτας τὰς αἰτιατικὰς διχῶς λέγεσθαι, ὡς καὶ τὰς τῶν κυρίων· ἀλλ’ ἐπέλειψεν ἡ χρῆσις τῆς εἰς α . ὦ ὄφ ι. Δυϊκά. [15]

4 2 11 Τὼ ὄφι ε , τοῖν ὀφίοι ν , ὦ ὄφι ε. Πληθ. Οἱ ὄφιε ς , τῶν ὀφίω ν , τοῖς ὄφισ ι , τοὺς ὄφια ς , ὦ ὄφιε ς . Κανὼν θʹ Ἑνικά. Ὁ χαρίεις τοῦ χαρίεντο ς: τὰ εἰς εις ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ντ κλίνεται, ἐρόεντος τιμήεντος. τῷ χαρίεντ ι , τὸν χαρίεντ α , ὦ χαρίει καὶ ὦ χαρίεν [καὶ ὦ χαρίεις ἀττικῶς]: διχῶς λέγεται τούτων ἡ κλητική, ὦ χαρίει, ὅτι τὰ εἰς ς λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὁ παῖς ὦ παῖ, ὁ Πηλεύς ὦ Πηλεῦ, καὶ ὦ χαρίεν, ὅτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, τὸ σοφόν καὶ τὸν σοφόν, τὸ εὔγηρων καὶ τὸν εὔγηρων, εἰ δὲ περισσοσυλλάβως τῇ κλητικῇ, τὸ ἄρσεν ὦ ἄρσεν, τὸ σῶφρον ὦ σῶφρον· οὕτως οὖν ἔσται ἡ κλητικὴ ὦ χαρίεν, ἵνα ὁμοφωνήσῃ τῷ οὐδετέρῳ. Δυϊκά. Τὼ χαρίεντ ε , τοῖν χαριέντοι ν , ὦ χαρίεντ ε. Πληθ. [15]

4 2 12 Οἱ χαρίεντε ς , τῶν χαριέντω ν , τοῖς χαρίεισι ἢ χαρίεσ ι: ἡ δοτικὴ τῶν πληθυντικῶν ἢ χαρίεισι τῷ λόγῳ τῆς εὐθείας τῶν ἑνικῶν, ἢ χαρίεσι τῷ λόγῳ τῆς δοτικῆς τῶν ἑνικῶν. τοὺς χαρίεντα ς , ὦ χαρίεντε ς . Κανὼν ιʹ Ἑνικά. Ὁ Πηλεύς τοῦ Πηλέο ς , Πηλέως δὲ ἀττικῶς: τὰ εἰς ευς λήγοντα διὰ τοῦ εος κλίνεται, Οἰνέος Τυδέος Πηλέος· Ἀττικοὶ δὲ τῆς γενικῆς ταύτης τρέπουσιν τὸ ο εἰς ω , Πηλέως Οἰνέως Τυδέως. τῷ Πηλέϊ καὶ Πηλεῖ κατὰ συναίρεσιν, τὸν Πηλέ α , ὦ Πηλε ῦ: εἴπομεν ὡς τὰ εἰς ς λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὁ Ζεύς ὦ Ζεῦ. Δυϊκά. Τὼ Πηλέ ε , τοῖν Πηλέοι ν , ὦ Πηλέ ε. Πληθ. Οἱ Πηλέε ς , τῶν Πηλέω ν , τοῖς Πηλεῦσ ι: μόνως τὴν δοτικὴν διὰ τῆς ευ διφθόγγου λεκτέον τῷ ἀπὸ τῆς εὐθείας κανόνι· οὐ γὰρ διφορεῖται, ὥς τινες νομίζουσι· μόνον τὸ υἱέσιν ἡμάρτηται παρὰ Ἀττικοῖς δίχα τοῦ υ λεγόμενον. τοὺς Πηλέα ς , ὦ Πηλέες καὶ ὦ Πηλεῖς κατὰ συναίρεσιν. Κανὼν ιαʹ Ἑνικά. [15]

4 2 13 Ὁ ἡδύς τοῦ ἡδέο ς: τὰ εἰς υς τριγενῆ διὰ τοῦ εος κλίνεται, ἡδέος ὠκέος. τῷ ἡδέϊ καὶ ἡδεῖ κατὰ συναίρεσιν. τὸν ἡδέα καὶ ἡδύ ν: καὶ αὗται αἱ αἰτιατικαὶ διχῶς λέγονται, τῷ λόγῳ τῆς εὐθείας καὶ τῷ λόγῳ τῆς δοτικῆς. ὦ ἡδ ύ: τὰ εἰς υς ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὦ ταχύ, ὦ θῆλυ. Δυϊκά. Τὼ ἡδέ ε , τοῖν ἡδέοι ν , ὦ ἡδέ ε. Πληθ. Οἱ ἡδέες καὶ κατὰ συναίρεσιν ἡδεῖ ς , τῶν ἡδέω ν , τοῖς ἡδέσ ι , τοὺς ἡδέας καὶ ἡδεῖς κατὰ συναίρεσιν, ὦ ἡδέες καὶ ὦ ἡδεῖ ς . Κανὼν ιβʹ Ἑνικά. Ὁ βότρυς τοῦ βότρυο ς: τὰ εἰς υς μονογενῆ τὸ υ φυλάσσει ἐπὶ γενικῆς, στάχυος βότρυος· σεσημείωται τὸ πῆχυς πήχεος καὶ πέλεκυς πελέκεος. τῷ βότρυ ϊ , τὸν βότρυ ν , ὦ βότρ υ. Δυϊκά. Τὼ βότρυ ε , τοῖν βοτρύοι ν , ὦ βότρυ ε. Πληθ. Οἱ βότρυε ς , τῶν βοτρύω ν , τοῖς βότρυσ ι , τοὺς βότρυα ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα τροπῇ τοῦ ε εἰς α ποιεῖ τὴν αἰτιατικήν, ἔρωτες ἔρωτας. [15]

4 2 14 ὦ βότρυε ς . Κανὼν ιγʹ. Ἑνικά. Ὁ βοῦς τοῦ βοό ς: τὰ εἰς ους ἀπαθῆ διὰ τοῦ ος κλίνεται, χροῦς χροός, χοῦς χοός, πλὴν τοῦ πούς καὶ ὀδούς. τῷ βο ΐ , τὸν βόα καὶ βοῦν διχῶς, ὦ βο ῦ. Δυϊκά. Τὼ βό ε , τοῖν βοοῖ ν , ὦ βό ε. Πληθ. Οἱ βόε ς , τῶν βοῶ ν , τοῖς βουσ ί , τοὺς βόα ς , ὦ βόε ς . Κανὼν ιδʹ. Ἑνικά. Ὁ πλοῦς τοῦ πλο ῦ: τὰ εἰς ους συνῃρημένα τῶν ἐντελῶν ἔχει τὴν κλίσιν, πλακόεις πλακόεντος πλακοῦς πλακοῦντος, χρύσεος χρυσέου χρυσοῦς χρυσοῦ, πλόος πλόου πλοῦς πλοῦ, ἔστι δὲ πᾶσα ἡ κλίσις ἀπὸ τοῦ ἐντελοῦς συνῃρημένη· τὰ εἰς ος ἀρσενικὰ εἰς ου ἔχει τὴν γενικήν, ὁ πλόος ὁ πλοῦς τοῦ πλόου τοῦ πλοῦ. τῷ πλόῳ τῷ πλ ῷ , τὸν πλόον τὸν πλοῦ ν , ὦ πλόε ὦ πλο ῦ: τὰ εἰς ος ἀρσενικὰ εἰς ε ἔχει τὴν κλητικήν. Δυϊκά.

4 2 15 Τὼ πλόω τὼ πλ ώ , τοῖν πλόοιν τοῖν πλοῖ ν , ὦ πλόω ὦ πλ ώ. Πληθ. Οἱ πλόοι οἱ πλο ῖ , τῶν πλόων τῶν πλῶ ν , τοῖς πλόοις τοῖς πλοῖ ς , τοὺς πλόους τοὺς πλοῦ ς , ὦ πλόοι ὦ πλο ῖ . Κανὼν ιεʹ. Ἑνικά. Ὁ ἱδρώς τοῦ ἱδρῶτο ς: τὰ εἰς ως ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ τος κλίνεται, ἀπτῶτος ἀγνῶτος. τῷ ἱδρῶτ ι , τὸν ἱδρῶτ α , ὦ ἱδρώ ς: τὰ εἰς ως τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ Μίνως, ὦ ἥρως. Δυϊκά. Τὼ ἱδρῶτ ε , τοῖν ἱδρώτοι ν , ὦ ἱδρῶτ ε. Πληθ. Οἱ ἱδρῶτε ς , τῶν ἱδρώτω ν , τοῖς ἱδρῶσ ι , τοὺς ἱδρῶτα ς , ὦ ἱδρῶτε ς . Κανὼν ιςʹ. Ἑνικά. Ὁ ἥρως τοῦ ἥρωο ς , ὁ γέλως τοῦ γέλωτο ς: τῶν εἰς ως βαρυτόνων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τος κλίνεται, γέλωτος ἔρωτος Νέπωτος, τὰ δὲ μακρᾷ διὰ καθαροῦ τοῦ ος , Μίνωος ἥρωος, πλὴν τοῦ εἵλως εἵλωτος. τῷ ἥρω ϊ , τὸν ἥρω α , ὦ ἥρω ς. Δυϊκά. Τὼ ἥρω ε , τοῖν ἡρώοι ν , ὦ ἥρω ε. Πληθ. Οἱ ἥρωε ς , τῶν ἡρώω ν , τοῖς ἥρωσ ι , τοὺς ἥρωα ς , ὦ ἥρωε ς . Κανὼν ιζʹ.

4 2 16 Ἑνικά. Ὁ Μενέλεως τοῦ Μενέλε ω: τὰ εἰς ος ὀνόματα μεταποιοῦντες Ἀττικοὶ εἰς ως καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσι, κλίνουσι δὲ πάντα κατὰ ἀποβολὴν τοῦ ς , ὁ λεώς τοῦ λεώ, ὁ νεώς τοῦ νεώ· ἰστέον δὲ ὡς εἴ που εὑρεθείη ἐν τῷ κοινῷ ὀνόματι τὸ ο εἰς ω τρέπουσιν αὐτό, κἂν φθάσῃ προπαροξυνθῆναι ἡ εὐθεῖα πᾶσα πτῶσις προπαροξύνεται. τῷ Μενέλε ῳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὸν Μενέλεω ν: εἴπομεν ὡς πᾶσα εὐθεῖα εἰς ς λήγουσα, ὅταν ἔχῃ ἰσοσύλλαβον τὴν αἰτιατικὴν μετὰ τῶν αὐτῶν φωνηέντων, εἰς ν αὐτὴν ἔχει λήγουσαν, ὁ Πέρσης τὸν Πέρσην. ὦ Μενέλεω ς: εἴπομεν ὅτι τὰ εἰς ως τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· ἄλλως τε καὶ οἱ Ἀττικοὶ τὰς αὐτὰς ποιοῦσιν ὀρθὰς καὶ κλητικάς. Δυϊκά. Τὼ Μενέλε ω: πᾶσα δοτικὴ ἑνικῶν εἰς ω λήγουσα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν. τοῖν Μενέλεῳ ν: τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο εἰςω · διὸ καὶ τὸ ι ἔχει· πᾶσα γὰρ δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ι ἔχει. ὦ Μενέλε ω: εἴρηται. Πληθ. Οἱ Μενέλε ῳ: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο εἰς ω , καὶ τὸ ι ἔχει· πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν ἀρσενικῶν καὶ θηλυκῶν εἰς φωνῆεν λήγουσα εἰς ι θέλει λήγειν.

4 2 17 τῶν Μενέλεω ν: εἴρηται. τοῖς Μενέλεῳ ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν δοτικήν· ἀναγκαίως οὖν καὶ τοῦτο μετὰ τοῦ ι γράφεται. τοὺς Μενέλεω ς: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο εἰς ω , τὸ μέντοι υ ἐξέπεσεν διὰ τὴν κακοφωνίαν. ὦ Μενέλε ῳ: εἴρηται. Κανὼν ιηʹ. Ἑνικά. Ὁ ἅλς τοῦ ἁλό ς: πᾶν ὄνομα εἰς δύο σύμφωνα λῆγον διὰ δύο συμφώνων κλίνεται, Τίρυνς Τίρυνθος, μάκαρς μάκαρτος· εἰ οὖν ἅλς ἔδει ἁλτός, ἀλλ' ἐπειδὴ δασυνομένης τῆς εὐθείας ἔμελλεν ψιλοῦσθαι ἡ γενική, ὑπεστάλη τὸ τ , ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική· τοῦτο δὲ τὸ ὄνομα ὅτε μέν ἐστι θηλυκὸν καὶ δηλοῖ τὴν θάλασσαν ἕως τῶν ἑνικῶν κλίνεται μόνον, ὅτε δὲ ἀρσενικὸν δι' ὅλου κλίνεται. τῷ ἁλ ί , τὸν ἅλ α , ὦ ἅλ ς: τὰ εἰς δύο σύμφωνα λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. Δυϊκά. Τὼ ἅλ ε , τοῖν ἁλοῖ ν , ὦ ἅλ ε. Πληθ. Οἱ ἅλε ς , τῶν ἁλῶ ν , τοῖς ἁλσ ί: εἴπομεν ὡς τὰ εἰς ς λήγοντα μετὰ μακρᾶς περισσοσυλλάβως κλινόμενα καὶ μὴ συναιρούμενα κατὰ τὴν γενικὴν προσθέσει τοῦ ι τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ. τοὺς ἅλα ς , ὦ ἅλε ς . Κανὼν ιθʹ. Ἑνικά. Ὁ Ἀλκμάν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλκμᾶνο ς: τὰ εἰς αν καὶ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ α καὶ προσθέσει τοῦ ος κλίνεται, παιᾶνος Τιτᾶνος Πανός, ὅτε ἀρσενικόν ἐστι.

4 2 18 τῷ Ἀλκμᾶν ι , τὸν Ἀλκμᾶν α , ὦ Ἀλκμά ν: τὰ εἰς ἀμετάβολον ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ λιμήν, ὦ ἀστήρ, πλὴν τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ. Δυϊκά. Τὼ Ἀλκμᾶν ε , τοῖν Ἀλκμάνοι ν , ὦ Ἀλκμᾶν ε. Πληθ. Οἱ Ἀλκμᾶνε ς , τῶν Ἀλκμάνω ν , τοῖς Ἀλκμᾶσ ι , τοὺς Ἀλκμᾶνα ς , ὦ Ἀλκμᾶνε ς . Κανὼν κ′ Ἑνικά. Ὁ σωλήν τοῦ σωλῆνο ς , ὁ ποιμήν τοῦ ποιμένο ς: τῶν εἰς ην ὀξυτόνων ὅσα μὲν ἔχει τὸ μ ἐπὶ τῆς εὐθείας διὰ τοῦ ε κλίνεται, ὅσα δὲ μὴ ἔχει τὸ μ τὸ η φυλάσσει· καὶ τὸ αὐχήν οὖν αὐχένος ἐκλίθη· αὐχμήν γὰρ τὸ ἐντελέστερον. τῷ σωλῆν ι , τὸν σωλῆν α , ὦ σωλή ν. Δυϊκά. Τὼ σωλῆν ε , τοῖν σωλήνοι ν , ὦ σωλῆν ε. Πληθ. Οἱ σωλῆνε ς , τῶν σωλήνω ν , τοῖς σωλῆσ ι , τοὺς σωλῆνα ς , ὦ σωλῆνε ς . Κανὼν κα′. Ἑνικά. Ὁ Ἕλλην τοῦ Ἕλληνο ς , ὁ τέρην τοῦ τέρενο ς: τῶν εἰς ην βαρυτόνων ὅσα μέν ἐστι μονογενῆ τὸ η τηρεῖ, ὅσα δὲ ἔχει οὐδετέρου παρασχηματισμὸν διὰ τοῦ ε κλίνεται, Ἕλληνος Γέρηνος· τέρενος δὲ ὅτι τὸ τέρεν καὶ ἄρσενος ὅτι τὸ ἄρσεν. τῷ Ἕλλην ι , τὸν Ἕλλην α , ὦ Ἕλλη ν: τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος ποιεῖ τὴν κλητικήν, ἄρσενος ἄρσεν, Μαχάονος Μαχᾶον, πλὴν τοῦ Ἄπολλον καὶ Πόσειδον.

4 2 19 Δυϊκά. Τὼ Ἕλλην ε , τοῖν Ἑλλήνοι ν , ὦ Ἕλλην ε. Πληθ. Οἱ Ἕλληνε ς , τῶν Ἑλλήνω ν , τοῖς Ἕλλησ ι , τοὺς Ἕλληνα ς , ὦ Ἕλληνε ς . Κανὼν κβ′. Ἑνικά. Ὁ δελφίν τοῦ δελφῖνο ς: τὰ εἰς ιν ὀξύνεται καὶ μακρὸν ἔχει τὸ ι καὶ προσθέσει τοῦ ος κλίνεται· δικατάληκτά τε καλεῖται, ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις εἰς ις λήγει, παρὰ δὲ τοῖς νεωτέροις εἰς ιν , δελφίν ἀκτίν ῥίν. τῷ δελφῖν ι , τὸν δελφῖν α , ὦ δελφί ν. Δυϊκά. Τὼ δελφῖν ε , τοῖν δελφίνοι ν , ὦ δελφῖν ε. Πληθ. Οἱ δελφῖνε ς , τῶν δελφίνω ν , τοῖς δελφῖσ ι , τοὺς δελφῖνα ς , ὦ δελφῖνε ς . Κανὼν κγ′. Ἑνικά. Ὁ Φόρκυν τοῦ Φόρκυνο ς: τὰ εἰς υν προσθέσει τοῦ ος κλίνεται, μόσυνος Φόρκυνος. τῷ Φόρκυν ι , τὸν Φόρκυν α , ὦ Φόρκυ ν. Δυϊκά. Τὼ Φόρκυν ε , τοῖν Φορκύνοι ν , ὦ Φόρκυν ε. Πληθ. Οἱ Φόρκυνε ς , τῶν Φορκύνω ν , τοῖς Φόρκυσ ι , τοὺς Φόρκυνα ς , ὦ Φόρκυνε ς . Κανὼν κδ′. Ἑνικά. Ὁ Θέων τοῦ Θέωνο ς , ὁ σώφρων τοῦ σώφρονο ς , ὁ λέων τοῦ λέοντο ς: τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων τὰ μὲν παρώνυμα διὰ τοῦ ω κλίνεται, Θέωνος Ἱέρωνος Δίωνος, τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο , οἷον γείτονος σώφρονος, τὰ δὲ ἔχοντα θηλυκὸν διὰ τοῦ αινα διὰ τοῦ ντ , οἷον δράκων δράκοντος ὅτι δράκαινα, θεράπων θεράποντος ὅτι θεράπαινα.

4 2 20 τῷ Θέων ι , τῷ σώφρον ι , τῷ λέοντ ι . τὸν Θέων α , τὸν σώφρον α , τὸν λέοντ α . ὦ Θέω ν , ὦ σῶφρο ν , ὦ λέο ν. Δυϊκά. Τὼ Θέων ε , τὼ σώφρον ε , τὼ λέοντ ε . τοῖν Θεώνοι ν , τοῖν σωφρόνοι ν , τοῖν λεόντοι ν . ὦ Θέων ε , ὦ σώφρον ε , ὦ λέοντ ε. Πληθ. Οἱ Θέωνε ς , οἱ σώφρονε ς , οἱ λέοντε ς . τῶν Θεώνω ν , τῶν σωφρόνω ν , τῶν λεόντω ν . τοῖς Θέωσ ι , τοῖς σώφροσ ι , τοῖς λέουσ ι: ὅτι κατὰ τὴν παραλήγουσαν ἰσοχρονεῖν θέλει ταῖς ἄλλαις πλαγίοις τῶν πληθυντικῶν ἡ δοτικὴ τῶν πληθυντικῶν, ἐνίοτε δὲ καὶ μείζονα χρόνον ἔχειν, οὐδέποτε δὲ ἐλάττονα· μείζονα οὖν χρόνον ἔχει ὡς ἐπὶ τοῦ τοῖς Νέστορσι. τοὺς Θέωνα ς , τοὺς σώφρονα ς , τοὺς λέοντα ς . ὦ Θέωνε ς , ὦ σώφρονε ς , ὦ λέοντε ς . Κανὼν κε′. Ἑνικά. Ὁ κοιτών τοῦ κοιτῶνο ς , ὁ Σαρπηδών τοῦ Σαρπηδόνο ς , ὁ ἀλεκτρυών τοῦ ἀλεκτρυόνο ς: τῶν εἰς ων ὀξυτόνων ὅσα μέν ἐστι περιεκτικὰ τὸ ω φυλάσσει, φοινικῶνος ἀμπελῶνος, ὅσα δὲ εἰς δων λήγει διὰ τοῦ ο κλίνεται, Σαρπηδόνος Μακεδόνος, καὶ ὅσα εἰς ων καθαρὸν λήγει καὶ βραχεῖ διχρόνῳ παραλήγεται, περικτιόνος ἀλεκτρυόνος. τῷ κοιτῶν ι , τῷ Σαρπηδόν ι , τῷ ἀλεκτρυόν ι . τὸν κοιτῶν α , τὸν Σαρπηδόν α , τὸν ἀλεκτρυόν α . ὦ κοιτώ ν , ὦ Σαρπηδώ ν , ὦ ἀλεκτρυώ ν. Δυϊκά. Τὼ κοιτῶν ε , τὼ Σαρπηδόν ε , τὼ ἀλεκτρυόν ε . τοῖν κοιτώνοι ν , τοῖν Σαρπηδόνοι ν , τοῖν ἀλεκτρυόνοι ν . ὦ κοιτῶν ε , ὦ Σαρπηδόν ε , ὦ ἀλεκτρυόν ε. Πληθ.

4 2 21 Οἱ κοιτῶνε ς , οἱ Σαρπηδόνε ς , οἱ ἀλεκτρυόνε ς . τῶν κοιτώνω ν , τῶν Σαρπηδόνω ν , τῶν ἀλεκτρυόνω ν . τοῖς κοιτῶσ ι , τοῖς Σαρπηδόσ ι , τοῖς ἀλεκτρυόσ ι . τοὺς κοιτῶνα ς , τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σαρπηδόνα ς , τοὺς ἀλεκτρυόνα ς . ὦ κοιτῶνε ς , ὦ Σαρπηδόνε ς , ὦ ἀλεκτρυόνε ς . Κανὼν κϛʹ. Ἑνικά. Ὁ Ξενοφῶν τοῦ Ξενοφῶντο ς , ὁ Ποσειδῶν τοῦ Ποσειδῶνο ς , ὁ ταῶν τοῦ ταῶνο ς: τὰ εἰς ων περισπώμενα διὰ τοῦ ντ κλίνεται, Ξενοφῶντος Ἀγλαοφῶντος· σεσημείωται τὸ Ποσειδῶν· τὸ γὰρ ταῶν καὶ Τυφῶν ὡς καὶ εἰς ως λήξαντα, καὶ Τυφῶς καὶ ταῶς γὰρ λέγεται, οὐκ ἠκολούθησε τῇ κλίσει τῶν περισπωμένων. τῷ Ξενοφῶντ ι , τῷ Ποσειδῶν ι , τῷ ταῶν ι . τὸν Ξενοφῶντ α , τὸν Ποσειδῶν α , τὸν ταῶν α . ὦ Ξενοφῶ ν , ὦ Πόσειδο ν , ὦ ταῶ ν. Δυϊκά. Τὼ Ξενοφῶντ ε , τὼ Ποσειδῶν ε , τὼ ταῶν ε . τοῖν Ξενοφώντοι ν , τοῖν Ποσειδώνοι ν , τοῖν ταώνοι ν . ὦ Ξενοφῶντ ε , ὦ Ποσειδῶν ε , ὦ ταῶν ε. Πληθ. Οἱ Ξενοφῶντε ς , οἱ Ποσειδῶνε ς , οἱ ταῶνε ς . τῶν Ξενοφώντω ν , τῶν Ποσειδώνω ν , τῶν ταώνω ν . τοῖς Ξενοφῶσ ι , τοῖς Ποσειδῶσ ι , τοῖς ταῶσ ι . τοὺς Ξενοφῶντα ς , τοὺς Ποσειδῶνα ς , τοὺς ταῶνα ς . ὦ Ξενοφῶντε ς , ὦ Ποσειδῶνε ς , ὦ ταῶνε ς . Κανὼν κζʹ. Ἑνικά. Ὁ θώραξ τοῦ θώρακο ς: τὰ εἰς αξ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνεται, αὔλακος πίδακος· σεσημείωται τὸ ἅρπαξ ἅρπαγος. τῷ θώρακ ι , τὸν θώρακ α , ὦ θώρα ξ: τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ Πέλοψ, ὦ Ἄραψ· σεσημείωται τὸ ὦ γύναι καὶ τὸ Ζεῦ ἄνα, ὅτι ἀποβολὴν ἐποιήσαντο τοῦ ξ . Δυϊκά. [25]

4 2 22 Τὼ θώρακ ε , τοῖν θωράκοι ν , ὦ θώρακ ε. Πληθ. Οἱ θώρακε ς , τῶν θωράκω ν , τοῖς θώραξ ι: αὗται αἱ δοτικαὶ διχῶς κανονίζονται, ἢ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν προσλαμβανούσης πρὸ τοῦ ι τὸ ς καὶ συναιρούσης τὸ κς εἰς ξ καὶ τὸ πς εἰς ψ , οἷον Φοίνικι, καὶ προσλαμβάνει τὸ ς πρὸ τοῦ ι , λοιπὸν συναίρεσις τοῦ κς εἰς ξ , Φοίνικσι Φοίνιξι, ὁμοίως Πέλοπι Πέλοψι· ἢ ἀπὸ τῆς εὐθείας· πᾶσα γὰρ εὐθεῖα εἰς διπλοῦν λήγουσα προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Πέλοψι Φοίνιξι. τοὺς θώρακα ς , ὦ θώρακε ς . Κανὼν κηʹ. Ἑνικά. Ὁ μύρμηξ τοῦ μύρμηκο ς , ὁ βουπλήξ τοῦ βουπλῆγο ς: τῶν εἰς ηξ ἀρσενικῶν ὅσα μέν ἐστιν ἁπλᾶ διὰ τοῦ κ κλίνεται, νάρθηκος σκώληκος· ὅσα δὲ σύνθετα διὰ τοῦ γ , οἰστροπλήξ οἰστροπλῆγος, ἀκανθοπλήξ ἀκανθοπλῆγος. τῷ μύρμηκ ι , τῷ βουπλῆγ ι . τὸν μύρμηκ α , τὸν βουπλῆγ α . ὦ μύρμη ξ , ὦ βουπλή ξ. Δυϊκά. Τὼ μύρμηκ ε , τὼ βουπλῆγ ε . τοῖν μυρμήκοι ν , τοῖν βουπλήγοι ν . ὦ μύρμηκ ε , ὦ βουπλῆγ ε. Πληθ. Οἱ μύρμηκε ς , οἱ βουπλῆγε ς . τῶν μυρμήκω ν , τῶν βουπλήγω ν . τοῖς μύρμηξ ι , τοῖς βουπλῆξ ι . τοὺς μύρμηκα ς , τοὺς βουπλῆγα ς . ὦ μύρμηκε ς , ὦ βουπλῆγε ς . Κανὼν κθʹ. Ἑνικά. Ὁ πέρδιξ τοῦ πέρδικο ς , ὁ τέττιξ τοῦ τέττιγο ς , ὁ ὁμῆλιξ τοῦ ὁμήλικο ς: τὰ εἰς ιξ ἀρσενικὰ εἰ μὲν ἁπλᾶ εἴη διὰ τοῦ κ κλίνεται, Φοίνικος πέρδικος· σεσημείωται τὸ τέττιγος· τὰ δὲ σύνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται, καλλίτριχος ὁμήλικος. τῷ πέρδικ ι , τὸν πέρδικ α , ὦ πέρδι ξ. Δυϊκά. [25]

4 2 23 Τὼ πέρδικ ε , τοῖν περδίκοι ν , ὦ πέρδικ ε. Πληθ. Οἱ πέρδικε ς , τῶν περδίκω ν , τοῖς πέρδιξ ι , τοὺς πέρδικα ς , ὦ πέρδικε ς . Κανὼν λʹ Ἑνικά. Ὁ δοῖδυξ τοῦ δοίδυκο ς , ὁ Βέβρυξ τοῦ Βέβρυκο ς: ὅσα τῶν εἰς υξ φύσει μακρᾷ παραλήγεται διὰ τοῦ κ κλίνεται, κήρυκος δοίδυκος, καὶ ὅσα διὰ δύο συμφώνων ἐκφέρεται, ὧν τὸ ἓν τῆς πρώτης ἐστὶ συζυγίας τῶν βαρυτόνων, Βέβρυκος ἄμπυκος. τῷ δοίδυκ ι , τὸν δοίδυκ α , ὦ δοῖδυ ξ. Δυϊκά. Τὼ δοίδυκ ε , τοῖν δοιδύκοι ν , ὦ δοίδυκ ε. Πληθ. Οἱ δοίδυκε ς , τῶν δοιδύκω ν , τοῖς δοίδυξ ι , τοὺς δοίδυκα ς , ὦ δοίδυκε ς . Κανὼν λαʹ. Ἑνικά. Ὁ βῶξ τοῦ βωκό ς: τὰ εἰς ωξ ἁπλᾶ διὰ τοῦ κ κλίνεται, βωκός πτωκός, πλὴν τοῦ ῥωγός· ῥώξ δέ ἐστιν εἶδος φαλαγγίου· ἐπὶ γὰρ τῆς σταφυλῆς ῥάξ λέγεται θηλυκῶς. τῷ βωκ ί , τὸν βῶκ α , ὦ βῶ ξ. Δυϊκά. Τὼ βῶκ ε , τοῖν βωκοῖ ν , ὦ βῶκ ε. Πληθ. Οἱ βῶκε ς , τῶν βωκῶ ν , τοῖς βωξ ί , τοὺς βῶκα ς , ὦ βῶκε ς . Κανὼν λβʹ. Ἑνικά. Ὁ λουτήρ τοῦ λουτῆρο ς , ὁ αἰθήρ τοῦ αἰθέρο ς: τῶν εἰς ηρ ὀξυτόνων ὅσα μὲν ἔχει τὸ τ διὰ τοῦ η κλίνεται, καμπτῆρος ἐλατῆρος, σεσημειωμένου τοῦ πατέρος ἀστέρος· ὅσα δὲ μὴ ἔχει τὸ τ διὰ τοῦ ε κλίνεται, αἰθέρος δαέρος, σεσημειωμένου τοῦ σπινθῆρος Ἐλευθῆρος. τῷ λουτῆρ ι , τὸν λουτῆρ α , ὦ λουτή ρ. Δυϊκά. Τὼ λουτῆρ ε , τοῖν λουτήροι ν , ὦ λουτῆρ ε. Πληθ. [25]

4 2 24

Οἱ λουτῆρες, τῶν λουτήρων, τοῖς λουτῆρσι, τοὺς λουτῆρας, ὦ λουτῆρες. Κανὼν λγʹ. Ἑνικά. Ὁ Πίηρ τοῦ Πίερο ς , ὁ Ἴβηρ τοῦ Ἴβηρο ς: τῶν εἰς ηρ βαρυτόνων ὅσα μὲν μακρᾷ παραλήγεται διὰ τοῦ ε κλίνεται, φράτερος Πίερος, ὅσα δὲ βραχείᾳ παραλήγεται διὰ τοῦ η κλίνεται, Ἴβηρος ἐρίηρος· τὸ δὲ πάνθηρ τοῦ ἁπλοῦ τὴν κλίσιν ἐδέξατο. τῷ Πίερ ι , τὸν Πίερ α , ὦ Πῖε ρ. Δυϊκά. Τὼ Πίερ ε , τοῖν Πιέροι ν , ὦ Πίερ ε. Πληθ. Οἱ Πίερε ς , τῶν Πιέρω ν , τοῖς Πίερσ ι , τοὺς Πίερα ς , ὦ Πίερε ς . Κανὼν λδʹ. Ἑνικά. Ὁ Νέστωρ τοῦ Νέστορο ς , ὁ κέλωρ τοῦ κέλωρο ς: τὰ εἰς ωρ βαρύτονα διὰ τοῦ ο κλίνεται· ὅσα δὲ ἔχει τὸ λ διὰ τοῦ ω , Μέντορος Ἕκτορος Νέστορος κέλωρος πέλωρος. τῷ Νέστορ ι , τὸν Νέστορ α , ὦ Νέστο ρ. Δυϊκά. Τὼ Νέστορ ε , τοῖν Νεστόροι ν , ὦ Νέστορ ε. Πληθ. Οἱ Νέστορε ς , τῶν Νεστόρω ν , τοῖς Νέστορσ ι , τοὺς Νέστορα ς , ὦ Νέστορε ς . Κανὼν λεʹ. Ἑνικά. Ὁ Κύκλωψ τοῦ Κύκλωπο ς: τὰ εἰς ψ λήγοντα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ π κλίνεται, Πέλοπος Κύκλωπος λαίλαπος, πλὴν τοῦ Ἄραβος Κίνυφος Χάλυβος. τῷ Κύκλωπ ι , τὸν Κύκλωπ α , ὦ Κύκλω ψ. Δυϊκά. Τὼ Κύκλωπ ε , τοῖν Κυκλώποι ν , ὦ Κύκλωπ ε. Πληθ. Οἱ Κύκλωπε ς , τῶν Κυκλώπω ν , τοῖς Κύκλωψ ι , τοὺς Κύκλωπα ς , ὦ Κύκλωπε ς. Τέλος τῶν ἀρσενικῶν. Περὶ θηλυκῶν.

4 2 25 Κανὼν αʹ Ἑνικά. Ἡ Μοῦσ α , ἡ μαῖ α , ἡ σφαῖρ α , τῆς Μούση ς , τῆς μαία ς , τῆς σφαίρα ς: τῶν εἰς α βαρυτόνων θηλυκῶν ὅσα μὲν καθαρὸν ἔχει τὸ α ἢ μετὰ τοῦ ρ τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῆς, Μηδείας φοβερᾶς· ὅσα δὲ πρὸ τοῦ α ἄλλο σύμφωνον ἔχει, τρέπει αὐτὸ εἰς η , δίψα δίψης, ἄελλα ἀέλλης. τῇ Μούσ ῃ , τῇ μαί ᾳ , τῇ σφαίρ ᾳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὴν Μοῦσα ν , τὴν μαῖα ν , τὴν σφαῖρα ν: εἴπομεν ὡς πᾶσα αἰτιατικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ν λήγει. ὦ Μοῦσ α , ὦ μαῖ α , ὦ σφαῖρ α: τὰ εἰς α καὶ η θηλυκὰ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. Δυϊκά. Τὰ Μούσ α , τὰ μαί α , τὰ σφαίρ α: πᾶσα δοτικὴ ἑνικῶν εἰς η λήγουσα τροπῇ τοῦ η εἰς α ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, τῷ Πέρσῃ τὼ Πέρσα· κἂν εἰς α δὲ ἢ εἰς ω λήγῃ, ὁμόφωνον ἔχει τὸ δυϊκόν.

4 2 26 ταῖν Μούσαι ν , ταῖν μαίαι ν , ταῖν σφαίραι ν: εἴπομεν ὡς τὰ εἰς α δυϊκὰ προσθέσει τοῦ ιν ποιεῖ τὴν γενικήν. ὦ Μούσ α , ὦ μαί α , ὦ σφαίρ α: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτως καὶ ἡ κλητική. Πληθ. Αἱ Μοῦσα ι , αἱ μαῖα ι , αἱ σφαῖρα ι: τὰ εἰς α δυϊκὰ προσθέσει τοῦ ι πληθυντικὰ γίνεται. τῶν Μουσῶ ν , τῶν μαιῶ ν , τῶν σφαιρῶ ν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους. ταῖς Μούσαι ς , ταῖς μαίαι ς , ταῖς σφαίραι ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν δοτικήν, Αἰνεῖαι Αἰνείαις. τὰς Μούσα ς , τὰς μαία ς , τὰς σφαίρα ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι λήγουσα τροπῇ τοῦ ι εἰς ς τὴν αἰτιατικὴν ποιεῖ, καλαί καλάς. ὦ Μοῦσα ι , ὦ μαῖα ι , ὦ σφαῖρα ι: εἴρηται. Κανὼν βʹ Ἑνικά. Ἡ τιμή τῆς τιμῆ ς: τὰ εἰς η λήγοντα θηλυκὰ προσθέσει τοῦ ς κλίνεται, καλῆς σοφῆς· ὅθεν τὸ γυναικός ἀπὸ τοῦ γύναιξ κεκλίσθαι φαμέν. τῇ τιμ ῇ , τὴν τιμή ν , ὦ τιμ ή. Δυϊκά. Τὰ τιμ ά , ταῖν τιμαῖ ν , ὦ τιμ ά. Πληθ. Αἱ τιμα ί , τῶν τιμῶ ν , ταῖς τιμαῖ ς , τὰς τιμά ς , ὦ τιμα ί . Κανὼν γʹ Ἑνικά. Ἡ Σαπφώ τῆς Σαπφοῦ ς: τὰ εἰς ω λήγοντα θηλυκὰ εἰς ους ἔχει τὴν γενικήν, Κλειώ Κλειοῦς, Ἐρατώ Ἐρατοῦς· εἴπομεν δὲ ὅτι πᾶσα γενικὴ εἰς ους λήγουσα συνῃρημένη ἐστίν· ἀπὸ τοίνυν τῆς Σαπφόος γίνεται κατὰ συναίρεσιν Σαπφοῦς.

4 2 27 τῇ Σαπφόϊ καὶ τῇ Σαπφο ῖ , τὴν Σαπφόα καὶ τὴν Σαπφ ώ , ὦ Σαπφο ῖ: ἡ κλητικὴ εἰς οι , τῆς χρήσεως οὕτως ἐχούσης 〈Φ 498〉 Λητο ῖ , ἐγὼ δέ τοι οὔ τι μαχήσομα ι. Δυϊκά. Τὰ Σαπφ ώ: αὕτη ἡ εὐθεῖα τῶν δυϊκῶν ὡμοφώνησεν καὶ τῇ ὀρθῇ καὶ τῇ αἰτιατικῇ τῶν ἑνικῶν, ἐξ ὧν καὶ συνέστηκεν. ταῖν Σαπφοῖ ν: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οιν ποιεῖ τὴν γενικήν. ὦ Σαπφ ώ: ὡς ἡ ὀρθὴ καὶ ἡ κλητική. Πληθ.

4 2 28 Αἱ Σαπφο ί: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οι ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων. τῶν Σαπφῶ ν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους. ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σαπφοῖ ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι λήγουσα προσθέσει τοῦ ς τὴν δοτικὴν ποιεῖ. τὰς Σαπφού ς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς οι λήγουσα τροπῇ τοῦ οι εἰς ους ποιεῖ τὴν αἰτιατικήν. ὦ Σαπφο ί: εἴρηται. Κανὼν δ′ Ἑνικά. Ἡ τρήρων τῆς τρήρωνο ς , ἡ Πυθών τῆς Πυθῶνο ς , ἡ τρυγών τῆς τρυγόνο ς: τῶν εἰς ων θηλυκῶν τὰ μὲν ὀξύτονα διὰ τοῦ ο κλίνεται, τὰ δὲ βαρύτονα καὶ τὰ ἐπὶ πόλεων διὰ τοῦω · ὀξύτονα μὲν τρυγόνος ἀηδόνος, βαρύτονα δὲ τρήρωνος μήκωνος, ἐπὶ πόλεων δὲ Σιδῶνος Πυθῶνος· σεσημείωται τὸ Ἀνθηδόνος Ὀλοσσόνος. τῇ τρήρων ι , τὴν τρήρων α , ὦ τρήρω ν. Δυϊκά. Τὰ τρήρων ε , ταῖν τρηρώνοι ν , ὦ τρήρων ε. Πληθ. Αἱ τρήρωνε ς , τῶν τρηρώνω ν , ταῖς τρήρωσ ι , τὰς τρήρωνα ς , ὦ τρήρωνε ς . Κανὼν ε′ Ἑνικά. Ἡ αὖλαξ τῆς αὔλακο ς: τὰ εἰς ξ θηλυκὰ ἁπλᾶ ὑπὲρ μίαν συλλαβὴν πλὴν τῶν εἰς υξ ἅπαντα διὰ τοῦ κ κλίνεται, δίπλακος αὔλακος πήληκος χάλικος· σεσημείωται τὸ λάταγος καὶ μάστιγος διὰ τοῦ γ κλιθέντα, καὶ τὸ ἀλώπεκος ὅτι ἔτρεψεν τὸ η εἰςε · τὰ γὰρ εἰς διπλοῦν λήγοντα οὐδέποτε τρέπει τὸ φωνῆεν αὐτῶν ἐν τῇ κλίσει.

4 2 29 τῇ αὔλακ ι , τὴν αὔλακ α , ὦ αὖλα ξ. Δυϊκά. Τὰ αὔλακ ε , ταῖν αὐλάκοι ν , ὦ αὔλακ ε. Πληθ. Αἱ αὔλακε ς , τῶν αὐλάκω ν , ταῖς αὔλαξ ι , τὰς αὔλακα ς , ὦ αὔλακε ς . Κανὼν ς′ Ἑνικά. Ἡ Σφίγξ τῆς Σφιγγό ς: πᾶν ὄνομα εἰς ξ λῆγον εἰ μὲν ἔχει πρὸ τοῦ ξ τὸ γ διὰ τοῦ γ κλίνεται, εἰ δὲ ἕτερον σύμφωνον διὰ τοῦ κ , φάλαγξ φάλαγγος, Σφίγξ Σφιγγός· σάρξ δὲ σαρκός καὶ ἅλξ ἁλκός· τὸ δὲ λύγξ ὅτε μὲν τὸ ζῷον δηλοῖ διὰ τοῦ κ κλίνεται, ὅτε δὲ τὸ πάθος διὰ τοῦ γ. τῇ Σφιγγ ί , τὴν Σφίγγ α , ὦ Σφίγ ξ: τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. Δυϊκά. Τὰ Σφίγγ ε , ταῖν Σφιγγοῖ ν , ὦ Σφίγγ ε. Πληθ. Αἱ Σφίγγε ς , τῶν Σφιγγῶ ν , ταῖς Σφιγξ ί , τὰς Σφίγγα ς , ὦ Σφίγγε ς . Κανὼν ζ′ Ἑνικά. Ἡ μήτηρ τῆς μητέρος καὶ ἐν συγκοπῇ μητρό ς: τὰ εἰς ηρ θηλυκὰ διὰ τοῦ ε κλίνεται, μητέρος θυγατέρος Δημήτερος· τὸ δὲ μητρός καὶ θυγατρός συγκοπὴν ὑπέμειναν ὁμοίως τῷ πατρός καὶ ἀνδρός. τῇ μητέρι καὶ ἐν συγκοπῇ μητρ ί , τὴν μητέρ α , ὦ μῆτε ρ. Δυϊκά.

4 2 30 Τὰ μητέρ ε , ταῖν μητέροι ν , ὦ μητέρ ε. Πληθ. Αἱ μητέρε ς , τῶν μητέρω ν , ταῖς μητράσ ι: ἔδει μὲν ἀπὸ τῆς μητέρι δοτικῆς μητέρσι εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀλλὰ διὰ τὴν εὐφωνίαν ὑπέρθεσις γίνεται τοῦ ρ καὶ τροπὴ τοῦ ε εἰς α , ὡς πατράσι καὶ θυγατράσι. τὰς μητέρα ς , ὦ μητέρε ς . Κανὼν η′ Ἑνικά. Ἡ λαμπάς τῆς λαμπάδο ς: καθόλου τὰ εἰς ας θηλυκὰ διὰ τοῦ δος κλίνεται καὶ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. τῇ λαμπάδ ι , τὴν λαμπάδ α , ὦ λαμπά ς. Δυϊκά. Τὰ λαμπάδ ε , ταῖν λαμπάδοι ν , ὦ λαμπάδ ε. Πληθ. Αἱ λαμπάδε ς , τῶν λαμπάδω ν , ταῖς λαμπάσ ι , τὰς λαμπάδα ς , ὦ λαμπάδε ς . Κανὼν θ′ Ἑνικά. Ἡ φιλότης τῆς φιλότητο ς: τὰ εἰς της θηλυκὰ μονογενῆ διὰ τοῦ τος κλίνεται, φιλότητος κακότητος. τῇ φιλότητ ι , τὴν φιλότητ α , ὦ φιλότη ς: εἴπομεν ὡς τὰ εἰς ης ἢ εἰς ως διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχει τῇ ὀρθῇ τὴν κλητικήν. Δυϊκά. Τὰ φιλότητ ε , ταῖν φιλοτήτοι ν , ὦ φιλότητ ε. Πληθ. Αἱ φιλότητε ς , τῶν φιλοτήτω ν , ταῖς φιλότησ ι , τὰς φιλότητα ς , ὦ φιλότητε ς . Κανὼν ι′ Ἑνικά. Ἡ μῆνις τῆς μήνιδο ς , ἡ ἔρις τῆς ἔριδο ς , ἡ τοξότις τῆς τοξότιδο ς: τῶν εἰς ις θηλυκῶν βαρυτόνων ὅσα ἐστὶν εἰς νις μακρᾷ παραληγόμενα διὰ τοῦ δος κλίνεται, ὄνωνις νεᾶνις· ἔτι καὶ ὅσα τὸ ρ ἔχει, ἔρις κίθαρις, πλὴν τοῦ ὕβρις καὶ ἄγυρις· οὐ μὴν ἀλλὰ καὶ ὅσα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν μεταπεποίηται, δραπέτιδος τοξότιδος.

4 2 31 τῇ μήνιδ ι , τὴν μήνιδα καὶ μῆνι ν , ὦ μῆν ι. Δυϊκά. Τὰ μήνιδ ε , ταῖν μηνίδοι ν , ὦ μήνιδ ε. Πληθ. Αἱ μήνιδε ς , τῶν μηνίδω ν , ταῖς μήνισ ι , τὰς μήνιδα ς , ὦ μήνιδε ς . Κανὼν ια′. Ἑνικά. Ἡ πίτυ ς , ἡ πληθύ ς , ἡ χλαμύ ς , τῆς πίτυο ς , τῆς πληθύο ς , τῆς χλαμύδο ς: τῶν εἰς υς θηλυκῶν τὰ μὲν βαρύτονα διὰ τοῦ ος κλίνεται, χέλυος πίτυος· σεσημείωται τὸ κόρυθος καὶ κώμυθος· τῶν δὲ ὀξυτόνων τὰ μὲν ἔχοντα βραχὺ τὸ υ διὰ τοῦ δος κλίνεται, χλαμύδος κροκύδος, τὰ δὲ μακρὸν ἔχοντα τὸ υ διὰ καθαροῦ τοῦ ος , ὀϊζύος Ἐρινύος. τῇ χλαμύδ ι , τὴν χλαμύδ α , ὦ χλαμ ύ. Δυϊκά. Τὰ χλαμύδ ε , ταῖν χλαμύδοι ν , ὦ χλαμύδ ε. Πληθ. Αἱ χλαμύδε ς , τῶν χλαμύδω ν , ταῖς χλαμύσ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ι , τὰς χλαμύδα ς , ὦ χλαμύδε ς . Κανὼν ιβʹ. Ἑνικά. Ἡ αἰδώ ς , ἡ ἕω ς , ἡ Κῶ ς , τῆς αἰδοῦ ς , τῆς ἕ ω , τῆς Κ ῶ: τῶν εἰς ως θηλυκῶν τὰ μὲν ὀξύτονα δύο εἰσίν, ἠώς καὶ αἰδώς, ἅπερ ὁμοίως ἐκλίθη τοῖς εἰς ω λήγουσι κατὰ πᾶσαν πτῶσιν· τὰ δὲ βαρύτονα κατὰ ἀποβολὴν τοῦ ς κλίνεται, τῆς Κέω, τῆς ἕω, τῆς ἅλω· τὸ γὰρ ἅλωος πταῖσμα νεωτερικόν· κλίνεται δὲ καὶ αὐτὰ ὁμοίως τοῖς εἰς ω Ἀττικοῖς· τὸ Κῶς μόνον περισπασθὲν ὁμοίως τοῖς βαρυτόνοις ἐκλίθη. [20]

4 2 32 τῇ αἰδο ῖ , τῇ ἕ ῳ , τῇ Κ ῷ . τὴν αἰδ ώ , τὴν ἕ ω , τὴν Κῶ ν: ἡ μὲν ἀναλογία μετὰ τοῦ ν , εὑρέθη δὲ καὶ τὴν ἕω καὶ τὴν Κῶ. ὦ αἰδο ῖ , ὦ ἕω ς , ὦ Κῶ ς. Δυϊκά. Τὰ αἰδ ώ , τὰ ἕ ω , τὰ Κ ῶ . ταῖν αἰδοῖ ν , ταῖν ἕῳ ν , ταῖν Κῷ ν . ὦ αἰδ ώ , ὦ ἕ ω , ὦ Κ ῶ. Πληθ. Αἱ αἰδο ί , αἱ ἕ ῳ , αἱ Κ ῷ . τῶν αἰδῶ ν , τῶν ἕω ν , τῶν Κῶ ν . ταῖς αἰδοῖ ς , ταῖς ἕῳ ς , ταῖς Κῷ ς . τὰς αἰδού ς , τὰς ἕω ς , τὰς Κῶ ς . ὦ αἰδο ί , ὦ ἕ ῳ , ὦ Κ ῷ. Τέλος τῶν θηλυκῶν. Περὶ οὐδετέρων. Παρατηρητέον ὅτι πᾶν οὐδέτερον ἀπὸ ἀρσενικοῦ γεγενημένον τὴν τοῦ ἀρσενικοῦ ἔχει κλίσιν, ὁποίας ἄν ποτε εἴη καταλήξεως, καλός καλοῦ καλόν καλοῦ, εὐγενής εὐγενοῦς εὐγενές εὐγενοῦς, ταχύς ταχέος ταχύ ταχέος, σώφρων σώφρονος σῶφρον σώφρονος, λιπόπατρις λιποπάτριδος λιπόπατρι λιποπάτριδος· ὅσους οὖν ἐροῦμεν κανόνας περὶ μονογενῶν ἐροῦμεν. Κανὼν αʹ Ἑνικά. Τὸ βῆμα τοῦ βήματο ς: τὰ εἰς α λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλει τὸ α καὶ τῷ μ παραλήγεται καὶ διὰ τοῦ τος κλίνεται, θέμα θέματος, δῶμα δώματος· τὸ γάλα ἀπὸ τοῦ γάλαξ γέγονε κατὰ ἀποβολὴν τοῦξ · τὸ κάρα λίπα ἄλειφα ἀποκοπὰς πεπόνθασιν ἀπὸ τοῦ κάρανον λιπαρόν ἄλειφαρ· τὰ δὲ τῶν στοιχείων ὀνόματα ἄκλιτα. [20]

4 2 33 τῷ βήματ ι , τὸ βῆμ α , ὦ βῆμ α: τῶν οὐδετέρων ἡ αὐτή ἐστιν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητική. Δυϊκά. Τὼ βήματ ε , τοῖν βημάτοι ν , ὦ βήματ ε. Πληθ. Τὰ βήματ α: πᾶσα εὐθεῖα πληθυντικὴ τῶν οὐδετέρων εἰς α λήγει· εἰ δέ που εἰς η εὑρεθείη λήγουσα κατὰ συναίρεσίν ἐστι, τὰ βέλεα τὰ βέλη, τὰ γένεα τὰ γένη. τῶν βημάτω ν , τοῖς βήμασ ι , τὰ βήματ α , ὦ βήματ α . Κανὼν βʹ Ἑνικά. Τὸ μέλι τοῦ μέλιτο ς: τὰ εἰς ι οὐδέτερα διὰ τοῦ τος κλίνεται· τὸ σίνηπι καὶ τὸ πέπερι οὐχ Ἑλληνικά, κλίνεται δὲ διὰ καθαροῦ τοῦ ος . τῷ μέλιτ ι , τὸ μέλ ι , ὦ μέλ ι. Δυϊκά. Τὼ μέλιτ ε , τοῖν μελίτοι ν , ὦ μέλιτ ε. Πληθ. Τὰ μέλιτ α , τῶν μελίτω ν , τοῖς μέλισ ι , τὰ μέλιτ α , ὦ μέλιτ α . Κανὼν γʹ Ἑνικά. Τὸ πῶϋ τοῦ πώεο ς , τὸ γόνυ τοῦ γόνυος καὶ γουνό ς , τὸ δόρυ τοῦ δόρυος καὶ δουρό ς: τὰ εἰς υ οὐδέτερα εἰ μὲν μακρᾷ παραλήγοιτο διὰ τοῦ ε κλίνεται, πώεος ἄστεος, εἰ δὲ βραχείᾳ διὰ τοῦ υ , γόνυος, καὶ ἐν ὑπερθέσει τοῦ υ γίνεται γουνός, δόρυ δόρυος καὶ ὁμοίως δουρός· τὸ γόνυ καὶ τὸ δόρυ ἔχουσι καὶ ἄλλας εὐθείας, τὸ γόνας καὶ τὸ δόρας· ἔχουσι δὲ τὰς γενικὰς εἰς τος , τοῦ γόνατος καὶ δόρατος, ἀκολούθως τοῖς εἰς ας οὐδετέροις, ὡς τὸ τέρας τέρατος. [20]

4 2 34 τῷ πώε ϊ , τὸ πῶ ϋ , ὦ πῶ ϋ. Δυϊκά. Τὼ πώε ε , τοῖν πωέοι ν , ὦ πώε ε. Πληθ. Τὰ πώε α , τῶν πωέω ν , τοῖς πώεσ ι , τὰ πώε α , ὦ πώε α . Κανὼν δ Ἑνικά. Τὸ ξύλον τοῦ ξύλο υ: τὰ εἰς ον οὐδέτερα εἰς ου ἔχει τὴν γενικήν, μέτρου ξύλου. τῷ ξύλ ῳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὸ ξύλο ν , ὦ ξύλο ν. Δυϊκά. Τὼ ξύλ ω , τοῖν ξύλοι ν , ὦ ξύλ ω. Πληθ. Τὰ ξύλ α , τῶν ξύλω ν , τοῖς ξύλοι ς , τὰ ξύλ α , ὦ ξύλ α . Κανὼν εʹ Ἑνικά. Τὸ ἧπαρ τοῦ ἥπατο ς , τὸ κέαρ τοῦ κέαρο ς , τὸ δέλεαρ τοῦ δελέατο ς: τῶν εἰς αρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ τος κλίνεται, δελέατος ὀνείατος· τῶν δὲ δισυλλάβων τὰ μὲν μακρᾷ παραληγόμενα διὰ τοῦ τος , τὰ δὲ βραχείᾳ διὰ τοῦ ρος , ἥπατος οὔθατος ἔαρος κέαρος· σεσημείωται τὸ φρέατος στέατος. τῷ ἥπατ ι , τὸ ἧπα ρ , ὦ ἧπα ρ. Δυϊκά. Τὼ ἥπατ ε , τοῖν ἡπάτοι ν , ὦ ἥπατ ε. Πληθ. Τὰ ἥπατ α , τῶν ἡπάτω ν , τοῖς ἥπασ ι , τὰ ἥπατ α , ὦ ἥπατ α . Κανὼν ςʹ Ἑνικά. [20]

4 2 35 Τὸ ὕδωρ τοῦ ὕδατο ς , τὸ ἔλωρ τοῦ ἔλωρος · τὰ εἰς ωρ διὰ τοῦ ρος ἐκλίθη, τέκμωρος ἔλωρος, πλὴν τοῦ ὕδωρ· ὕδατος γάρ. τῷ ὕδατ ι , τὸ ὕδω ρ , ὦ ὕδω ρ. Δυϊκά. Τὼ ὕδατ ε , τοῖν ὑδάτοι ν , ὦ

ὕδατ ε. Πληθ. Τὰ ὕδατ α , τῶν ὑδάτω ν , τοῖς ὕδασ ι , τὰ ὕδατ α , ὦ ὕδατ α . Κανὼν ζʹ Ἑνικά. Τὸ κρέας τοῦ κρέατος κοινῶ ς , τοῦ κρέαος ἰωνικῶς, τοῦ κρέως ἀττικῶς· τὰ εἰς ας οὐδέτερα ἡ μὲν κοινὴ διάλεκτος διὰ τοῦ τος κλίνει, κρέατος γήρατος, ἡ δὲ τῶν Ἰώνων καθ’ ὑποστολὴν τοῦ τ , κρέαος γήραος, ἡ δὲ τῶν Ἀττικῶν συναιροῦσα τὸ αο εἰς ω , τοῦ κρέως, τοῦ γήρως. τῷ κρέατι κοινῶ ς , τῷ κρέαϊ ἰωνικῶς, τῷ κρέᾳ ἀττικῶς. τὸ κρέα ς , ὦ κρέα ς. Δυϊκά. Τὼ κρέατε κοινῶς, τὼ κρέαε ἰωνικῶς, τὼ κρέα ἀττικῶς. τοῖν κρεάτοιν κοινῶς, τοῖν κρεάοιν ἰωνικῶς, τοῖν κρεοῖν ἀττικῶς. ὦ κρέατε κοινῶς, ὦ κρέαε ἰωνικῶς, ὦ κρέα ἀττικῶς. Πληθ. Τὰ κρέατα κοινῶς, τὰ κρέαα ἰωνικῶς, τὰ κρέα ἀττικῶς. τῶν κρεάτων κοινῶς, τῶν κρεάων ἰωνικῶς, τῶν κρεῶν ἀττικῶς. τοῖς κρέασι μόνως. τὰ κρέατα κοινῶς, τὰ κρέαα ἰωνικῶς, τὰ κρέα ἀττικῶς. ὦ κρέατα κοινῶς, ὦ κρέαα ἰωνικῶς, ὦ κρέα ἀττικῶς. Κανὼν ηʹ Ἑνικά. Τὸ τεῖχος τοῦ τείχεος καὶ κατὰ συναίρεσιν τείχου ς: τὰ εἰς ος οὐδέτερα εἰς ους ἔχει τὴν γενικήν, βέλους τείχους. τῷ τείχεϊ καὶ κατὰ συναίρεσιν τείχε ι . τὸ τεῖχο ς , ὦ τεῖχο ς. Δυϊκά. Τὼ τείχεε καὶ κατὰ συναίρεσιν τείχ η . τοῖν τειχέοιν καὶ κατὰ συναίρεσιν τειχοῖ ν. ὦ τείχεε καὶ κατὰ συναίρεσιν τείχ η. Πληθ.

4 2 36 Τὰ τείχεα καὶ κατὰ συναίρεσιν τείχ η . τῶν τειχέων καὶ κατὰ συναίρεσιν τειχῶ ν . τοῖς τείχεσ ι: τοῦτο ἀσυναίρετον μένει. τὰ τείχεα καὶ κατὰ συναίρεσιν τείχ η . ὦ τείχεα καὶ κατὰ συναίρεσιν τείχ η . Κανὼν θʹ Ἑνικά. Τὸ φῶς τοῦ φωτό ς , τὸ ὦς τοῦ ὠτό ς: δύο μόνα ἔστιν οὐδέτερα εἰς ως , φῶς καὶ ὦς, κέκλιται δὲ ἀμφότερα διὰ τοῦ τος . τῷ φωτ ί , τῷ ὠτ ί . τὸ φῶ ς , τὸ ὦ ς . ὦ φῶ ς , ὦ ὦ ς. Δυϊκά. Τὼ φῶτ ε , τὼ ὦτ ε . τοῖν φώτοι ν , τοῖν ὤτοι ν . ὦ φῶτ ε , ὦ ὦτ ε. Πληθ. Τὰ φῶτ α , τὰ ὦτ α . τῶν φώτω ν , τῶν ὤτω ν . τοῖς φωσ ί , τοῖς ὠσ ί . τὰ φῶτ α , τὰ ὦτ α . ὦ φῶτ α , ὦ ὦτ α. Τέλος τῶν οὐδετέρων. Περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων. Περὶ τόνου τῆς γενικῆς Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ’ ἧς καὶ ἡ εὐθεῖα, εἰ μή πω τις ἕτερος λόγος κωλύοι· ὑπεξῃρήσθωσαν δὲ αἱ εἰς ος δισύλλαβοι γενικαί· οἷον Αἴας ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὸν τόνον καὶ ἡ Αἴαντος, χάριτος ἔρωτος, ἀνήρ ἀνέρος, ταχύς ταχέος, Ἀχιλλεύς Ἀχιλλέος, εὐγενής ἐπὶ τῆς τρίτης, ἀλλὰ καὶ εὐγενέος, κρέας κρέατος. Τὰ μέντοι προπαροξυνόμενα ὅτε περισσοσυλλάβως κλίνεται ἀναγκαίως κατέρχεται μίαν συλλαβὴν ὁ τόνος· οὐκ ἔστι γὰρ τάσις πρὸ τριῶν συλλαβῶν, οἷον φίλημα φιλήματος, Ἄδωνις Ἀδώνιδος· καὶ τὸ Ὅμηρος Ὁμήρου κατήγαγε τὸν τόνον, ἐπεὶ οὐδ’ ἐνδέχεται φύσει μακρᾶς οὔσης ἐπὶ τέλους προπαροξυνθῆναι λέξιν· τὸ γὰρ μάντεως καὶ πόλεως Ἀττικὰ ἀπὸ τοῦ μάντιος καὶ πόλιος γεγονότα τῶν κοινῶν ἐφύλαξε τὴν τάσιν.

4 2 37 Σεσημειώσθω τοίνυν τὸ μητέρος καὶ θυγατέρος οὐ φυλάξαντα τὸν τόνον· ἴσως δὲ συναπηνέχθη τῇ πατέρος ἀνέρος· ἡμάρτηται δὲ καὶ τὸ γυναικός καὶ τὸ θυγατρός· τὸ γὰρ μιᾶς καὶ ἰᾶς Ἰωνικὴν ἔχει τὴν τάσιν. Αἱ μέντοι εἰς ος δισύλλαβοι γενικαὶ ὀξύνεσθαι θέλουσιν, χηνός γραός φωτός· ἡ λᾶος ἐκ τρισυλλάβου τῆς λάαος· ἡ υἷος ἐκ τῆς ὕϊος· ἡ κῆρος καὶ ἧρος ἐκ τῆς κέαρος καὶ ἔαρος· ἡ Θῶνος ἐκ τῆς Θώνιος ἢ Θόωνος· ἡ Ὦπος πρὸς ἀντιδιαστολὴν τοῦ ὀφθαλμοῦ· ἡ τίνος πρὸς διάφορον σημασίαν καὶ ὀξύνεται καὶ βαρύνεται. Ἐπὶ μέντοι μετοχῶν καὶ αἱ εἰς ος δισύλλαβοι γενικαὶ βαρύνονται, βάντος στάντος φθάντος. Περὶ τόνου τῆς δοτικῆς Πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, ἔρωτος ἔρωτι, χηνός χηνί, γραός γραΐ· εἶπον δὲ «ἰσοσυλλαβοῦσα» διὰ τὸ μάντει πόλει· ταῦτα γὰρ συναιρεθέντα οὐκ ἰσοσυλλαβεῖ τῇ γενικῇ· διὸ ἀπὸ μὲν τοῦ Τυνδάρεος Τυνδαρέου Τυνδαρέῳ πρὸ μιᾶς ὁ τόνος, ἀπὸ δὲ τοῦ Τυνδάρεως Τυνδάρεω Τυνδάρεῳ πρὸ δύο. Αἱ μεταπεπλασμέναι δοτικαὶ προπαροξύνονται, εἰ μὴ δισυλλαβία κωλύσοι, διχόμηνι πολυπάταγι μελίκρατι· τὸ γὰρ μελικρᾶτι ἀρσενικὸν ἀπὸ τοῦ ὁ μελικράς κέκλιται. Περὶ τόνου τῆς αἰτιατικῆς Πᾶσα αἰτιατικὴ ἐπὶ ταύτης ἔχει τῆς συλλαβῆς τὸν τόνον ἐφ’ ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς α δισυλλάβων, ἀβλῆτος ἄβλῆτα, λιμένος λιμένα, Δημήτερος Δημήτερα, Διομήδεος Διομήδεα, καλοῦ καλόν, μάντιος μάντιν· ἐπὶ μέντοι τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμήρου Ὅμηρον εἴπομεν, ὡς ἡ γενικὴ ἠνάγκαστο ὑπὸ τῆς μακρᾶς παροξύνεσθαι· σεσημείωται τὸ θύγατρα καὶ γυναῖκα.

4 2 38 Αἱ μέντοι εἰς α αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται, χῆνα παῖδα· τὸ τίνα πάλιν πρὸς τὴν σημασίαν ἔχει τὸν τόνον. Αἱ μέντοι μονοσύλλαβοι εἰς ν λήγουσαι αἰτιατικαὶ περισπῶνται, κλεῖν λῖν μῦν σῦν ζῶν θεῦν. Περὶ τόνου τῆς κλητικῆς Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, Αἴας Αἶαν, Ἀχιλλεύς Ἀχιλλεῦ, καλός καλέ, εὐγενής εὐγενές, Λειώδης Λειῶδες, ποιητής ποιητά· σεσημείωται τὸ δέσποτα μητίετα ἀκάκητα εὐρύοπα ἆνερ πάτερ σῶτερ δᾶερ, ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ κλητικῆς. Καὶ ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ τῆς κλητικῆς καὶ τὰ εἰς ης σύνθετα κύρια, Διόμηδες Ἀριστόφανες, καὶ τὰ παρ' οὐδετέρων ἐσχηματισμένα εἰς ης , εὔμηκες κακόηθες· παραλόγως γὰρ ἐβαρύνθη τὸ αὔθαδες αὔταρκες κάταντες· καὶ τὰ εἰς ηρ βαρύτονα ὅταν εἰς ερ ἔχωσι τὴν κλητικήν, Δήμητερ θύγατερ εἴνατερ· καὶ τὰ εἰς ων σύνθετα ὅταν εἰς ον εἴη ἡ κλητικὴ ἀναβιβάζει τὸν τόνον, πλὴν τῶν παρὰ τὸ φρήν, Ἀγάμεμνον κακόδαιμον χαμαίλεον· δαΐφρον δὲ καὶ περίφρον παροξυτόνως· παρὰ γὰρ τὸ φρήν.

4 2 39 Σεσημείωται τὸ ὦ Λακεδαῖμον προπερισπώμενον. Περὶ τόνου τῆς εὐθείας τῶν δυϊκῶν Ἡ μὲν εἰς ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὁμότονός ἐστι τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ εἰς α ληγούσῃ, εἰ δὲ ἄλεκτος εἴη, τῇ γενικῇ, χεῖρε Αἴαντε, πόλεε δὲ καὶ βέλεε· ἡ δὲ εἰς α καὶ εἰς ω λήγουσα, ἐφ' ἧς ἂν ἔχῃ συλλαβῆς ἡ γενικὴ τῶν ἑνικῶν τὸν τόνον, ἐπὶ ταύτης καὶ αὐτὴ ἔχει, Πέρσου Πέρσα, ἀέλλης ἀέλλα, ἵππου ἵππω. Τὸ ἄμφω δύω θεματικά. Περὶ τόνου τῆς γενικῆς τῶν δυϊκῶν Ἡ μὲν εἰς αιν γενικὴ καθόλου τῇ ἰδίᾳ εὐθείᾳ ἀκολουθεῖ, Ὀρέστα Ὀρέσταιν, κηδεστά κηδεσταῖν· ἡ δὲ εἰς οιν ἀπὸ μὲν τῶν εἰς ω εὐθειῶν συντονοῦται τῇ ἰδίᾳ εὐθείᾳ, τοῖν γεωργοῖν, τοῖν βοϊδίοιν, σεσημειωμένου τοῦ ἀμφοῖν δυοῖν· ἀπὸ δὲ τῶν εἰς ε εὐθειῶν ἀκόλουθος ἔσται τῇ γενικῇ τῶν πληθυντικῶν, χεροῖν πάντοιν παίδοιν εὐμηκοῖν τειχοῖν εὐνοῖν. Περὶ τόνου τῆς ὀρθῆς τῶν πληθυντικῶν Ἡ μὲν εἰς ες εὐθεῖα τῶν πληθυντικῶν ὁμότονος ἔσται τῇ ὀρθῇ τῶν δυϊκῶν, Αἴαντες ἀβλῆτες μύες, ἡ δὲ εἰς οι τῇ εὐθείᾳ τῶν ἑνικῶν, λίθινοι χρυσοῖ πλησίοι· ἡ δὲ εἰς αι μονογενὴς μὲν οὖσα ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ, βορέαι ἄελλαι Πέρσαι εὐθῦναι, παρεσχηματισμέναι δὲ ἀρσενικοῖς τῷ τόνῳ αὐτῶν ἕπονται, λίθινοι λίθιναι· καὶ ἥμεραι μὲν τὸ τριγενὲς προπαροξυτόνως, ἐπεὶ καὶ ἥμεροι, ἡμέραι δὲ τὸ μονογενὲς παροξυτόνως.

4 2 40 Τὰ δὲ οὐδέτερα εἰ μὲν εἴη ἀπὸ ἰσοσυλλάβου γενικῆς κεκλιμένα, τῇ ὀρθῇ τῶν ἑνικῶν ὁμοτονεῖ, κάνεον κάνεα καὶ κανοῦν κανᾶ καὶ τείχεα χάλκεα· εἰ δὲ ἀπὸ περισσοσυλλάβου, ἀεὶ βαρύνεται, φῶτα ὦτα πύρα φιλήματα κέρατα. Περὶ τόνου τῆς γενικῆς τῶν πληθυντικῶν Αἱ μὲν εἰς ες δισύλλαβοι εὐθεῖαι πληθυντικαὶ περισπῶσι τὰς γενικάς, μηνῶν χηνῶν γραῶν, ἐννέα σεσημειωμένων, τίνων πάντων Τρώων δμώων παίδων θώων κράτων δᾴδων λάων. Αἱ δὲ εἰς αι λήγουσαι ἀρσενικαὶ μὲν οὖσαι περισπῶσι τὴν γενικήν, τοξοτῶν πολιτῶν Αἰνειῶν, σεσημειωμένου τοῦ χλούνων χρήστων ἐτησίων· θηλυκαὶ δὲ οὖσαι εἰ μὲν εἶεν μονογενεῖς περισπῶνται, Μουσῶν ἀελλῶν, πλὴν τοῦ ἀφύων· εἰ δὲ παρεσχηματισμέναι ἀρσενικοῖς, ὁμοφωνοῦσαι μὲν αὐτοῖς τοῖς ἀρσενικοῖς κατὰ τὴν γενικὴν καὶ ὁμοτονοῦσιν, παραλλάσσουσαι δὲ τῇ φωνῇ καὶ τῷ τόνῳ διαφωνοῦσιν, οἷον Ῥόδιοι Ῥοδίων καὶ Ῥόδιαι Ῥοδίων· συμβεβάρυνται τῷ ἀρσενικῷ, ἐπεὶ καὶ μία φωνὴ ἐπ' ἀμφοῖν· ὁμοίως δούλων φίλων· ταχεῖαι μέντοι ταχειῶν· οὐ γὰρ ὁμοφώνως τῇ ταχέων ἀρσενικῇ, μελαινῶν καὶ μελάνων, μακαιρῶν καὶ μακάρων.

4 2 41 Εἴποι τις οὖν, πῶς οἱ πόρνοι τῶν πόρνων βαρυτόνως, τὸ δὲ θηλυκὸν πόρναι πορνῶν περισπωμένως; μία φωνὴ καὶ οὐχ εἷς ὁ τόνος· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πετρῶν ὀχθῶν κορῶν. Φημὶ οὖν ὅλα ταῦτα θηλυκὰ μονογενῆ εἶναι καὶ οὐκ ἀπὸ τῶν ἀρσενικῶν γεγενῆσθαι, διὸ καὶ ὡς μονογενῆ περιεσπάσθη, τὰ δὲ ἀρσενικὰ ἀπὸ τῶν θηλυκῶν παρωνύμως ἐσχηματίσθαι. Αἱ μέντοι εἰς ες εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς βαρύνουσι τὰς γενικάς, κἂν ὁμοφωνήσωσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς εἰς αι ἀρσενικοῖς· οἱ Ἰλιάδαι γὰρ τῶν Ἰλιαδῶν καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν περισπωμένως, αἱ Ἰλιάδες δὲ καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ τῶν Ἰλιάδων βαρυτόνως. Αἱ εἰς εις εὐθεῖαι συνῃρημέναι ὅταν ἔχωσι τὰς γενικὰς συναιρεθείσας περισπῶσιν αὐτάς, εὐγενῶν Δημοσθενῶν· τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνε, καὶ τριήρων φασί τινες Ἀττικοὺς βαρυτόνως λέγειν· αἱ ὑπόλοιποι πᾶσαι τῇ γενικῇ τῶν δυϊκῶν ὁμοτονοῦσι· τὸ πόλεων λέξεων καὶ τὰ ὅμοια τοίνυν ὀφείλει πρὸ μιᾶς ἔχειν τὸν τόνον, Ἀμμώνιος δέ φησιν αὐτὰ παρὰ Ἀττικοῖς προπαροξύνεσθαι. Τὰ εἰς α οὐδέτερα τριγενῆ μὲν ὄντα τοῖς ἀρσενικοῖς συντονοῦνται, φίλων κούφων δούλων, μονογενῆ δὲ τῇ ἰδίᾳ εὐθείᾳ, πτερά πτερῶν, ξυρά ξυρῶν, ὀστᾶ ὀστῶν, ὦτα ὤτων, φῶτα φώτων, γοῦνα γούνων, δοῦρα δούρων· ἐπὶ τοῦ τειχέων βελέων ἡ μακρὰ καταβιβάσασα τὸν τόνον συναίρεσιν ἐποίησεν ἐπὶ τῆς γενικῆς. Περὶ τόνου τῆς δοτικῆς τῶν πληθυντικῶν Πᾶσα δοτικὴ πληθυντικὴ ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησί, καλῷ καλοῖς, χειρί χερσί· σεσημείωται τὸ πᾶσι.

4 2 42 Αἱ πλεονάσασαι τὸ α πρὸ μιᾶς ἔχουσι τὸν τόνον, πατράσι θυγατράσι· αἱ δὲ μεταπεπλασμέναι προπαροξύνονται, ἄστρασι πρόβασι ἔγκασι. Περὶ τόνου τῆς αἰτιατικῆς τῶν πληθυντικῶν Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἀπαθὴς ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ γενικὴ τῶν ἑνικῶν, ταχέος ταχέας, καλοῦ καλούς, βέλεος βέλεα, Μούσης Μούσας, ἀθλητοῦ ἀθλητάς, χαλκοῦ χαλκοῦς. Τέλος τῶν ὀνομάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org